ἔλαιόν μου καὶ τὸ θυμίαμά μου ἔθηκας πρὸ προσώπου αὐτῶν·
[19]καὶ τοὺς ἄρτους μου, οὓς ἔδωκά σοι, σεμίδαλιν καὶ ἔλαιον καὶ 19
μέλι ἐψώμισά σε καὶ ἔθηκας αὐτὰ πρὸ προσώπου αὐτῶν εἰς ὀσμὴν
εὐωδίας· καὶ ἐγένετο, λέγει κύριος. [20]καὶ ἔλαβες τοὺς υἱούς σου 20
καὶ τὰς θυγατέρας σου, ἃς ἐγέννησας, καὶ ἔθυσας αὐτὰ αὐτοῖς εἰς
ἀνάλωσιν, ὡς μικρὰ ἐξεπόρνευσας, [21]καὶ ἔσφαξας τὰ τέκνα σου 21
καὶ ἔδωκας αὐτὰ ἐν τῷ ἀποτροπιάζεσθαί σε ἐν αὐτοῖς. [22]τοῦτο 22
παρὰ πᾶσαν τὴν πορνείαν σου, καὶ οὐκ ἐμνήσθης τὰς ἡμέρας τῆς
νηπιότητός σου, ὅτε ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα καὶ πεφυρμένη
ἐν τῷ αἵματί σου ἔζησας. [23]καὶ ἐγένετο μετὰ πάσας τὰς κακίας 23
σου, λέγει κύριος, [24]καὶ ᾠκοδόμησας σεαυτῇ οἴκημα πορνικὸν καὶ 24
ἐποίησας σεαυτῇ ἔκθεμα ἐν πάσῃ πλατείᾳ [25]καὶ ἐπ᾽ ἀρχῆς πάσης 25
ὁδοῦ ᾠκοδόμησας τὰ πορνεῖά σου καὶ ἐλυμήνω τὸ κάλλος σου
καὶ διήγαγες τὰ σκέλη σου παντὶ παρόδῳ καὶ ἐπλήθυνας τὴν πορ-
νείαν σου· [26]καὶ ἐξεπόρνευσας ἐπὶ τοὺς υἱοὺς Αἰγύπτου τοὺς ὁμ- 26
οροῦντάς σοι τοὺς μεγαλοσάρκους καὶ πολλαχῶς ἐξεπόρνευσας τοῦ
παροργίσαι με. [27]ἐὰν δὲ ἐκτείνω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ ἐξαρῶ 27
τὰ νόμιμά σου καὶ παραδώσω σε εἰς ψυχὰς μισούντων σε, θυγα-
τέρας ἀλλοφύλων τὰς ἐκκλινούσας σε ἐκ τῆς ὁδοῦ σου, ἧς ἠσέ-
βησας. [28]καὶ ἐξεπόρνευσας ἐπὶ τὰς θυγατέρας Ασσουρ καὶ οὐδ᾽ 28
οὕτως ἐνεπλήσθης· καὶ ἐξεπόρνευσας καὶ οὐκ ἐνεπίπλω. [29]καὶ 29
ἐπλήθυνας τὰς διαθήκας σου πρὸς γῆν Χαλδαίων καὶ οὐδὲ ἐν τού-
τοις ἐνεπλήσθης. [30]τί διαθῶ τὴν θυγατέρα σου, λέγει κύριος, ἐν 30
τῷ ποιῆσαί σε ταῦτα πάντα, ἔργα γυναικὸς πόρνης; καὶ ἐξεπόρ-
νευσας τρισσῶς [31]ἐν ταῖς θυγατράσιν σου· τὸ πορνεῖόν σου 31
ᾠκοδόμησας ἐπὶ πάσης ἀρχῆς ὁδοῦ καὶ τὴν βάσιν σου ἐποίησας
ἐν πάσῃ πλατείᾳ καὶ ἐγένου ὡς πόρνη συνάγουσα μισθώματα.
[32]ἡ γυνὴ ἡ μοιχωμένη ὁμοία σοι παρὰ τοῦ ἀνδρὸς αὐτῆς λαμβά- 32
νουσα μισθώματα· [33]πᾶσι τοῖς ἐκπορνεύσασιν αὐτὴν προσεδίδου 33

19 και εγεν.] + μετα ταυτα A (trahit haec ad 20) | κυριος: cf. 3 || 20 και $1^0$ > A† | ας εγενν. > A† | αυτα > B || 21 εν ult.] αυτα B: cf. 𝔐 || 22 σου $1^0$ B†] + και τα βδελυγματα σου rel. (in *O* sub ※) | τας ημ. της νηπ. σου] της νηπ. σου της ημ. B(†) | και ult. > B = 𝔐 || 23 σου B†] + ουαι ουαι σοι rel. (in *O* sub ※) | κυριος: cf. 3 || 25 επ αρχην A pau. | πασης οδου] πασων εξοδων A† | διηγαγες] δι > A*†: post και || 27 και $1^0$ > A† | σε $2^0$ > B† | ης *L*] > BA: ante ησεβ. | ησεβ. .. (28) εξεπορν.] tr. A† || 28 ασσουρ] ασ > A pau.: post -ρας | και paenult. > A† || 29 τας διαθηκας B pau.] την -κην A, τας πορνειας Q | χαλδαιων B†] pr. ※χαναάν *O*, pr. χαναναιων και A || 30 κυριος: cf. 3 | ταυτα παντα pl.] tr. B = 𝔐; > A† | και > A || 31 suntne εν ταις θυγ. σου et ωκοδομησας duae uersiones eiusdem uerbi? | το πορν. σου ωκοδ.] pr. και A, οποτε ωκοδ. το πορν. σου Q, εν τω οικοδομησαι το πορν. σου *L* | σου $2^0$ > BA† | επι πασης αρχης] εν παση αρχη B†, εν αρχη πασης Q*L* = 𝔐 | και $1^0$ > A | εγενου BA pau.] pr. ουκ rel. = 𝔐 || 32 η γυνη η] ως γυνη A || 33 εκπορνευουσιν A